τῶν συμμάχων δύνασθαι· καὶ ἡττηθέντες μὲν ὀλίγῳ τῶν
ἄλλων προαπολεῖσθαι, νικήσαντες δὲ καὶ τοὺς ἄλλους
ἐλευθερώσειν. ἄνδρες δ' ἀγαθοὶ γενόμενοι, καὶ τῶν μὲν 25
σωμάτων ἀφειδήσαντες, ὑπὲρ δὲ τῆς ἀρετῆς οὐ φιλοψυ-
χήσαντες, καὶ μᾶλλον τοὺς παρ' αὑτοῖς νόμους αἰσχυ-
νόμενοι ἢ τὸν πρὸς τοὺς πολεμίους κίνδυνον φοβούμενοι,
ἔστησαν μὲν τρόπαιον ὑπὲρ τῆς Ἑλλάδος τῶν βαρβάρων
ἐν τῇ αὑτῶν, ὑπὲρ χρημάτων εἰς τὴν ἀλλοτρίαν ἐμβα-
λόντων, παρὰ τοὺς ὅρους τῆς χώρας, οὕτω δὲ διὰ ταχέων 26
τὸν κίνδυνον ἐποιήσαντο, ὥστε οἱ αὐτοὶ τοῖς ἄλλοις
ἀπήγγειλαν τήν τ' ἐνθάδε ἄφιξιν τῶν βαρβάρων καὶ τὴν
νίκην τῶν προγόνων. καὶ γάρ τοι οὐδεὶς τῶν ἄλλων
ἔδεισεν ὑπὲρ τοῦ μέλλοντος κινδύνου, ἀλλ' ἀκούσαντες
ὑπὲρ τῆς αὑτῶν ἐλευθερίας ἥσθησαν. ὥστε οὐδὲν θαυ-
μαστόν, πάλαι τῶν ἔργων γεγενημένων, ὥσπερ καινῶν
ὄντων ἔτι καὶ νῦν τὴν ἀρετὴν αὐτῶν ὑπὸ πάντων ἀν-
θρώπων ζηλοῦσθαι.

Μετὰ ταῦτα δὲ Ξέρξης ὁ τῆς Ἀσίας βασιλεύς, κατα- 27
φρονήσας μὲν τῆς Ἑλλάδος, ἐψευσμένος δὲ τῆς ἐλπίδος,
ἀτιμαζόμενος δὲ τῷ γεγενημένῳ, ἀχθόμενος δὲ τῇ συμ-
φορᾷ, ὀργιζόμενος δὲ τοῖς αἰτίοις, ἀπαθὴς δ' ὢν κακῶν
καὶ ἄπειρος ἀνδρῶν ἀγαθῶν, δεκάτῳ ἔτει παρασκευασά-
μενος διακοσίαις μὲν καὶ χιλίαις ναυσὶν ἀφίκετο, τῆς δὲ
πεζῆς στρατιᾶς οὕτως ἄπειρον τὸ πλῆθος ἦγεν, ὥστε καὶ
τὰ ἔθνη τὰ μετ' αὐτοῦ ἀκολουθήσαντα πολὺ ἂν ἔργον
εἴη καταλέξαι· ὃ δὲ μέγιστον σημεῖον τοῦ πλήθους· ἐξὸν 28
γὰρ αὐτῷ χιλίαις ναυσὶ διαβιβάσαι κατὰ τὸ στενότατον
τοῦ Ἑλλησπόντου τὴν πεζὴν στρατιὰν ἐκ τῆς Ἀσίας εἰς
τὴν Εὐρώπην, οὐκ ἠθέλησεν, ἡγούμενος τὴν διατριβὴν
αὐτῷ πολλὴν ἔσεσθαι· ἀλλ' ὑπεριδὼν καὶ τὰ φύσει πε- 29
φυκότα καὶ τὰ θεῖα πράγματα καὶ τὰς ἀνθρωπίνας δια-



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415481120/37 UNIVERSITÄT LEIPZIG